# ΑΓΩΝ ΠΟΛΙΤΙΚΟΣ 2020

**Frattamaggiore, 10 gennaio 2020**

Eduardo FEDERICO
Università degli Studi di Napoli 'Federico II'

## DOMANDE IMBARAZZANTI A OMERO
## L'INUTILITA' DELLA POESIA EPICA PER LA CITTA'

Plat. *resp.* 599d-600a

Ὦ φίλε Ὅμηρε, εἴπερ μὴ τρίτος ἀπὸ τῆς ἀληθείας εἶ ἀρετῆς πέρι, εἰδώλου δημιουργός, ὃν δὴ μιμητὴν ὡρισάμεθα, ἀλλὰ καὶ δεύτερος, καὶ οἷός τε ἦσθα γιγνώσκειν ποῖα ἐπιτηδεύματα βελτίους ἢ χείρους ἀνθρώπους ποιεῖ ἰδίᾳ καὶ δημοσίᾳ, λέγε ἡμῖν τίς τῶν πόλεων διὰ σὲ βέλτιον ᾤκησεν, ὥσπερ διὰ Λυκοῦργον Λακεδαίμων καὶ δι' ἄλλους πολλοὺς πολλαὶ μεγάλαι τε καὶ σμικραί; σὲ δὲ τίς αἰτιᾶται πόλις νομοθέτην ἀγαθὸν γεγονέναι καὶ σφᾶς ὠφεληκέναι; Χαρώνδαν μὲν γὰρ Ἰταλία καὶ Σικελία, καὶ ἡμεῖς Σόλωνα· σὲ δὲ τίς; ἕξει τινὰ εἰπεῖν;
Οὐκ οἶμαι, ἔφη ὁ Γλαύκων· οὔκουν λέγεταί γε οὐδ' ὑπ' αὐτῶν Ὁμηριδῶν.
Ἀλλὰ δή τις πόλεμος ἐπὶ Ὁμήρου ὑπ' ἐκείνου ἄρχοντος ἢ συμβουλεύοντος εὖ πολεμηθεὶς μνημονεύεται;
Οὐδείς.

Socrate: "O caro Omero, se è vero che non sei terzo dalla verità riguardo alla virtù, non costruttore di immagini, che noi appunto stabilimmo imitatore, ma almeno secondo ed eri capace di conoscere quali attività rendono gli uomini migliori o peggiori, nel privato e nel pubblico, di' a noi quale fra le città fu amministrata meglio a causa tua, come Sparta a causa di Licurgo e molte, grandi e piccole, città, a causa di molti altri? Quale città reclama il fatto che sei stato buon legislatore e cha hai giovato loro? L'Italia e la Sicilia, infatti, reclamano Caronda e noi Solone. Chi te? Potrai dirne qualcuna?".
Glaucone disse: "Non credo. Dunque niente si dice neppure dagli stessi Omeridi.
Socrate: "Ma quale mai guerra è ricordata combattuta con successo all'epoca di Omero, dietro la sua guida o i suoi consigli?".
Glaucone: "Nessuna".